ὅτι οὐκ ἐληρήσεν ἐν οἷς κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα. Ἐκπιπλοσῶν τῶν ἠλέκτρων.] ἰδίως τὰ τοῖς κλίναις ἐπιβαλλόμενα, οὕτως ἐκάλουν ἤλεκτρα. μεταφορᾷ οὖν κέχρηται ἀπὸ τῶν κλινῶν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ἠσφαλισμένους ἄνθραξι καὶ ἠλέκτροις, ὥσπερ νῦν ἀργύρῳ ἢ κασσιτέρῳ. διόπερ βαρυτόνως ἀναγνωστέον ἀπὸ τοῦ αἱ ἤλεκτροι τῶν ἠλέκτρων. Καὶ τοῦ τόνου ἔτ' ἐνόντος.] ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε τοῦ τόνου. τόνος γάρ, τὰ τῶν κραββάτων σχοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. Τῶν θ' ἁρμονιῶν.] ἁρμονίας λέγει, τὰ συμπηγνύμενα τῶν κρεμάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ ἁρμονίαν λέγομεν, τὴν τῶν ποιημάτων σύνθεσιν. Διαχασκουσῶν] κεχηνυιῶν. διεσκορπισμένων καὶ μὴ ἐχουσῶν εὐέπειαν. Ὥσπερ Κοννᾶς.] ὁ Κοννᾶς αὐλητὴς ἦν καὶ μέθυσος. ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος, ὅστις ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθείς, πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ' ἢ τὸν κότινον. ἐφ' οὗ Κρατῖνος εἶπεν.

Ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν ὄφρα σε λιμὸς
Ἐχθαίρῃ. Κοννᾶς δέ, πολυστέφανος νικήσει.

λέγει δὲ αὐτὸν ταῦτα νικήσαντα μηδέπω τετιμῆσθαι. ἡ δὲ παροιμία. στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς. καὶ πάλιν.

Δελφὸς ἀνήρ, στέφανον μὲν ἔχων δίψει δ' ἀπολωλώς.

Πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο ὅτι μέθυσός ἐστιν. Ἐν τῷ Πρυτανείῳ.] ἔχεται καὶ τοῦτο τῆς ἐννοίας τῆς προκειμένης. σιτεῖσθαι γὰρ ἔλεγον ἐν τῷ Πρυτανείῳ, οὐχὶ πίνειν. παρὰ τῷ Διονύσῳ δὲ ἀντὶ ἐν τῷ θεάτρῳ.

Οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελιγμούς;
Ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
Ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας.
Χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
Ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν ἔφασκεν,
Ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν,
Κᾆτ' ἐντεῦθεν πρωρατεῦσαι, καὶ τοὺς ἀνέμους διαθρῆσαι,
Κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὕνεκα πάντων,
Ὅτι σωφρονικῶς, κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
Αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις,

*Quas verò Crates iras vestras, & quot conuitia passus?*
*Qui paruo sumtu vos assuescebat dimittere pransos,*
*Et sententias perquam vrbanas, dulci pinsebat in ore.*
*Hic solus ad obsistendum sufficiebat: sæpe cadens, &*
*Sæpe iterum stans. Hæc metuens noster cessauit: quia dicit:*
*Remigem oportere antè esse aliquem: quàm clauum in puppe tenere:*
*Ac postea demum proretam agere, atque obseruare Aquilones,*
*Ac deinde gubernare ipsum seipso. Pro quibus omnibus: vt quòd*
*Prudenter, non stolidè nugatus venerit in medium: vos*
*Tollite remorum sonitum: & ad vndenos transmittite remos,*

Σχόλια. Οἵας δὲ Κράτης ὀργάς.] οὗτος κωμῳδίας ἦν ποιητής. ὃς πρῶτος ὑπεκρίνατο Κρατίνου. καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο. καὶ ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. ἄλλως. τραγικὸς ποιητής, ὀλιγόστιχα ποιήματα γράψας. στυφελισμοὺς δὲ ὀργὰς λοιδορίας. ὕβρεις. μέμψεις. καὶ ἐν μυθικοῖς ὅτι στυφελῶν ἀπὸ πετρῶν ὀστρακόεντα νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη. Ἀπὸ σμικρᾶς δαπάνης.] σμικρὰ ἐποίει καὶ ἔτερπε τοὺς ἀκροατάς. γράφων ἡδέα. ἀριστίζων δὲ τρέφων ἄριστον κατασκευάζων. Ἀπὸ κραμβοτάτου.] ἡδυτάτου ξηροτάτου. ἔπαιξε δὲ ἀπὸ τοῦ τῶν λαχάνου ἐπινοίας. αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα. ἢ διὰ τὸ καπυρόν. ἄλλως. ἀπὸ τοῦ χρηστολάτου. ἔπαιξε δὲ ἐπὶ τῷ κραμβοτάτῳ, ἀπὸ τοῦ λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτήν, ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου. ἡνίκα γὰρ ὁ Διόνυσος τοῦτον εὐλαβηθεὶς εἰς τὴν θάλασσαν ἔδυ ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐπαφηκέναι. κἀκ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτο ἀντιπαθῶς ἔχειν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον. πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες. εἰ γάρ τις φασὶ τὴν ῥίζαν αὐτῆς ἐξάψαι ἐν ἀμπέλῳ, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. ὅθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται. καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν ἡ τῷ καρῷ ἀντιβαίνουσα. χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου, κραμβοτάτου ἔφησεν. ἵνα τὸ ἀπὸ μικρᾶς δαπάνης καὶ τὸ ἀριστίζω, ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. μάττων δέ, σκεπτόμενος, κατασκευάζων. ἐφευρίσκων ἀντήρκει δὲ ἀντεῖχε. Τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.] ὅτι ἀνὰ μέρος εὐδοκιμῶν, εἶθ' ὅτε δὲ ἡττώμενος. τοῦτο δὲ εἶπεν, ὡς οὐκ ἀεὶ εὐδοκιμοῦντος. Ἐρέτην χρῆναι.] κωπηλάτην μὴ ἐπιχειρεῖν φησὶ κυβερνᾶν, εἰ μὴ ἐν πείρᾳ γένηται τοιαύτῃ. ἄλλως. μὴ πρὶν κυβερνᾶν. οὐ γὰρ οἷόν τε κυβερνᾶν, μὴ πρότερον ἐν πολλῇ πείρᾳ γενόμενον ἀποδημίας καὶ τῶν ναυτικῶν, καὶ τοὺς ἀνέμους προειδέναι τίνες μέλλουσι πνεῖν καὶ προγνῶναι. εἶθ' οὕτω κυβερνᾶν. ἐντεῦθεν δέ τινι τῶν τῆς παρ' ἡμῖν θρησκείας ἱεροφαντῶν δαιμονίως μετηρρυθμίσθαι τό, ἐπαινῶ τὸν νηΐτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρήσας τῷ νηῒ κυβερνήτῃ καὶ πιστεύσας τὰ ἔμπροσθεν, αὖθις ἐπὶ τῶν οἰάκων καθίζει μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, καὶ τὴν τῶν ἀνέμων διάσκεψιν. Ὅτι σωφρονικῶς.] μετὰ λογισμοῦ καὶ σκέψεως. καὶ οὐκ ἀνοήτως. οὐδὲ ἐκ τοῦ προχείρου. Αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον.] ῥόθιον τὸ κῦμα ἀπὸ τοῦ ταχέως ῥεῖν, ἀπὸ τῶν ἐρεσσόντων μετενήνεγκεν. ὅταν συνεχῶς ὑπὸ πολλῶν ἐρετῶν, ἐπὶ πλέον προέρχεται ἡ ναῦς εἰς τὸ πρόσθεν. ἀξιοῖ οὖν τὸν νοῦν ἔπαινον, μέχρι πολλοῦ παραπέμψαι. Ἕνδεκα κώπαις.] κέλευσμα ναυτικὸν λέγεται ἐφ' ἕνδεκα κωπηλασίαις ἐκτεινομέναις. ἐπέμεινε δὲ τῇ τροπῇ. ἄλλως. Ἐπαρατὴν παραδέχεσθαι ἐφ' ἕνδεκα κώπαις ἑξῆς ἀπὸ τῶν ναυτικῶν.